Ὁπόθ' Ἡράκλεια, τὰ 'ν Διομείοις γίνεται.
Αἰ. Ἄνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.
Δι. Ἰοὺ, ἰοὺ. Αἰ. τί ἐστιν; Δι. ἱππέας γ' ὁρῶ.
Αἰ. Τί δῆτα κλάεις; Δι. κρομμύων ὀσφραίνομαι.
Αἰ. Ἐπεὶ προτιμᾷς γ' οὐδέν; Δι. οὐδέν μοι μέλει.
Αἰ. Βαδιστέον γ' ἄρ' ἐστὶν ἐπὶ τὸνδε πάλιν.
Ξανθ. Οἴμοι. Αἰ. τί ἐστι; Ξανθ. τὴν ἄκανθαν ἔξελε.
Αἰ. Τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.
Δι. Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν' ἔχεις.
Ξανθ. Ἤλγησεν, οὐκ ἤκουσας; Δι. οὐκ ἔγωγ', ἐπεὶ
Ἴαμβον Ἱππώνακτος ἀνεμιμνησκόμην.
Ξανθ. Οὐδὲν ποιεῖς γὰρ, ἀλλὰ τὰς λαγόνας ἀπόδει.
Αἰ. Μὰ τὸν Δί', ἀλλ' ἤδη πάρεχε τὴν γαστέρα.
Δι. Πόσειδον. Ξα. ἤλγησέ τις.
Δι. Ὃς Αἰγαίου πρῶνας, ἢ γλαυκᾶς μέδεις
Ἁλὸς ἐν βένθεσιν.
Αἰ. Οὔτοι μὰ τὴν Δήμητρα δύναμαί πω μαθεῖν
Ὁπότερος ὑμῶν ἐστὶ θεός. ἀλλ' εἴσιτον.
Ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται,
Χἠ Φερσέφαττ', ἅτ' ὄντε κἀκείνω θεώ.
Δι. Ὀρθῶς λέγεις. ἐβουλόμην δ' ἂν τοῦτό σε
Πρότερον ποιῆσαι, πρὶν μὲ τὰς πληγὰς λαβεῖν.

A *Sed cogitabam, quando in Diomea tribu*
*Heraclea fierent.* ÆA. *homo religiosus est,*
*Et perquàm sacer: ad hunc reuertendum est mihi.*
BA. *Heu, hei.* ÆA. *quid est?* BA. *equites venire conspicor.*
ÆA. *Cur ergo ploras?* BA. *quia capas olfactito.*
ÆA. *An nihil aliud hîc curas?* BA. *prorsus iam nihil.*
B ÆA. *Redeundum mihi igitur rursus ad hunc est virum.*
XA. *Hei mihi.* ÆA. *quid est?* XA. *Spinam hanc quæso eximas mihi.*
ÆA. *Quid hoc rei? rursus hic mihi adeundus est.*
BA. *O Phœbe Apollo, qui Delum aut Pythonem habes.*
XA. *Indoluit: non audisti?* BA. *non sane, quia*
*Iambi Hipponactis reminiscor cuiuspiam.*
XA. *Nihil sic promoues: age pessunda latus.*
ÆA. *Non; per Iouem, sed heus tu, ventrem porrige.*
BA. *Neptune.* XA. *iam dolet viro.*
BA. *Qui colli Ægeo, aut vndis imperas maris,*
*Caua subter vnda.*
D ÆA. *Ita me Ceres amet, vter vestrûm sit Deus*
*Dignoscere haud possum. Sed agite ingredimini*
*Nam herus ipsemet vos, & hera mea Proserpina*
*Meliùs cognoscent, cùm sint ipsi etiam Dei.*
BA. *Rectè dicis, quanquam hoc fecisse te priùs*
*Vellem, quàm ego tot pertulissem verbera.*

Σχόλια. Τὰ 'ν Διομείοις.] δῆμος τῆς Αἰγηΐδος φυλῆς, ἀπὸ Διόμου ἐρωμένου τοῦ Ἡρακλέους. ἔστι δὲ Ἡράκλειον αὐτόθι. πολὺ ὁ φησὶ δηλῶν, ὅτι Διόμος Ἡρακλῆς ἐγένετο.
E Bisetus. Τὰ 'ν Διομείοις] τὰ ἐν Διομείοις τὰ πλήρες. Στέφανος, Διόμεια, οὐδετέρως, δῆμος τῆς Αἰγηΐδος φυλῆς. ὁ δημότης, Διομεύς.
Σχόλια. Ἄνθρωπος ἱερός.] ἀποδέχεται αὐτὸν ὅτι ὑπὲρ τῶν ὡς δεδομένον καὶ φροντίζοντα τῶν μυστηρίων. τυπτόμενος γὰρ θείας τελετῆς μέμνηται. Ἱππέας ὁρῶ.] ὡς θαυμάζων ἱππέων ἔφοδον. προφάσεις δὲ ἐξευρίσκουσι γελοίας. Κρομμύων ὀσφραίνομαι.] τῷ γὰρ σημαίνει τὸ δακρύειν ἀκουσίως τοῖς ὀσφραινομένοις κρομμύων. Ἐπεὶ προτιμᾷς οὐδέν.]
F καὶ νῦν οὐδὲ οὐκ ἐπιστρέφῃ. δύναται δὲ, τὸ αὐτὸ πρόσωπον λέγειν ὅλον. Τὴν ἄκανθαν ἔξελε.] ἐπάρας τὸν πόδα τὴν πτέρναν δείκνυσι. Τί τὸ πρᾶγμα τουτί.] ὡς δυσκόλως ἔχων τοῦτο λέγει ὁ Αἰακός. Ἄπολλον ὅς που.] ἀλγεῖν προσποιεῖται ἀλγούμενος ὁ Διόνυσος. οἱ γὰρ ἀλγοῦντες τοὺς θεοὺς ἀνακαλοῦνται. Ἴαμβον Ἱππώνακτος.] ὡς ἀλγήσας καὶ συγκεχυμένος, οὐκ οἶδε τί λέγει. ἐπεὶ οὐχ Ἱππώνακτος, ἀλλ' Ἀνανίου. ἐπιφέρει δὲ ὁ Ἀνανίας αὐτῷ, ἢ Νάξον, ἢ Μίλητον, ἢ θείαν Κλάρον ἵκου καθ' ἱερ' ἢ Σκύθας ἀφίξεαι. Τὰς λαγόνας ἀπόδει.] καθαίρει. ἀποδεῖν γὰρ κυρίως, τὸ τοὺς βωμοὺς καθαίρειν. Ὃς Αἰγαίου πρῶνας.] παρὰ τὰ Σοφοκλέους ἐκ Λαοκόωντος Πόσειδον ὃς Αἰγαίου μέδεις πρῶνας. ἢ γλαυκᾶς μέδεις εὐανέμου λίμνας, ἐφ' ὑψηλαῖς σπιλάδεσι στομάτων.

ΧΟΡΟΣ.

Χο. Μοῦσα χορῶν ἱερῶν ἐπίβηθι καὶ
Ἔλθ' ἐπὶ τέρψιν ἀοιδᾶς ἐμᾶς,
Τὸν πολὺν ὀψομένη λαῶν ὄχλον,
Οὗ σοφίαι μυρίαι κάθηνται,

CHORVS, STROPHE.

CH. *Mvsa, chorū dein aggredere inclytū,*
*Et fac amabile carmen meum,*
*Innumeramq́ue hominum turbam aspice,*
G *Qua sapientia densa fulget,*

Σχόλια. Μοῦσα χορῶν ἱερῶν.] καὶ τοῦ παραβάσεις ἐστὶν ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη τῆς παραβάσεως. ἀλλὰ μόνα τὰ τέσσαρα. τὴν ᾠδὴν. τὸ ἐπίρρημα. τὴν ἀντῳδὴν. τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ παροῦσα ᾠδὴ ἐκ κώλων πολυσχηματίστων ιϛ. ὧν τὸ πρῶτον τετράμετρον βραχυκατάληκτον ἀσυνάρτητον προσοδιακὸν ἀναπαιστικὸν καλούμενον. ἢ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον καταληκτικόν. τὸ τρίτον ὅμοιον τρίμετρον ἀκατάληκτον. καὶ τὴν τετάρτην χώραν τοῦ μὲν ᾠδῆς ἀμφιβραχέος, τοῦ δὲ